ἀπῆραν καὶ παρενέβαλον εἰς φάραγγα Ζαρετ. [13]καὶ ἐκεῖθεν ἀπάραν- 13
τες παρενέβαλον εἰς τὸ πέραν Αρνων ἐν τῇ ἐρήμῳ τὸ ἐξέχον ἀπὸ
τῶν ὁρίων τῶν Αμορραίων· ἔστιν γὰρ Αρνων ὅρια Μωαβ ἀνὰ
μέσον Μωαβ καὶ ἀνὰ μέσον τοῦ Αμορραίου. [14]διὰ τοῦτο λέγεται 14
ἐν βιβλίῳ

Πόλεμος τοῦ κυρίου τὴν Ζωοβ ἐφλόγισεν
καὶ τοὺς χειμάρρους Αρνων,
[15]καὶ τοὺς χειμάρρους κατέστησεν κατοικίσαι Ηρ 15
καὶ πρόσκειται τοῖς ὁρίοις Μωαβ.

[16]καὶ ἐκεῖθεν τὸ φρέαρ· τοῦτό ἐστιν τὸ φρέαρ, ὃ εἶπεν κύριος 16
πρὸς Μωυσῆν Συνάγαγε τὸν λαόν, καὶ δώσω αὐτοῖς ὕδωρ πιεῖν.
[17]τότε ᾖσεν Ισραηλ τὸ ᾆσμα τοῦτο ἐπὶ τοῦ φρέατος 17

Ἐξάρχετε αὐτῷ·
[18]φρέαρ, ὤρυξαν αὐτὸ ἄρχοντες, 18
ἐξελατόμησαν αὐτὸ βασιλεῖς ἐθνῶν
ἐν τῇ βασιλείᾳ αὐτῶν, ἐν τῷ κυριεῦσαι αὐτῶν.

καὶ ἀπὸ φρέατος εἰς Μανθαναιν· [19]καὶ ἀπὸ Μανθαναιν εἰς Να- 19
αλιηλ· καὶ ἀπὸ Νααλιηλ εἰς Βαμωθ· [20]καὶ ἀπὸ Βαμωθ εἰς νάπην, 20
ἥ ἐστιν ἐν τῷ πεδίῳ Μωαβ ἀπὸ κορυφῆς τοῦ λελαξευμένου τὸ
βλέπον κατὰ πρόσωπον τῆς ἐρήμου.

[21]Καὶ ἀπέστειλεν Μωυσῆς πρέσβεις πρὸς Σηων βασιλέα Αμορ- 21
ραίων λόγοις εἰρηνικοῖς λέγων [22]Παρελευσόμεθα διὰ τῆς γῆς σου· 22
τῇ ὁδῷ πορευσόμεθα, οὐκ ἐκκλινοῦμεν οὔτε εἰς ἀγρὸν οὔτε εἰς
ἀμπελῶνα, οὐ πιόμεθα ὕδωρ ἐκ φρεάτός σου· ὁδῷ βασιλικῇ πορευ-
σόμεθα, ἕως παρέλθωμεν τὰ ὅριά σου. [23]καὶ οὐκ ἔδωκεν Σηων τῷ 23
Ισραηλ παρελθεῖν διὰ τῶν ὁρίων αὐτοῦ, καὶ συνήγαγεν Σηων πάν-
τα τὸν λαὸν αὐτοῦ καὶ ἐξῆλθεν παρατάξασθαι τῷ Ισραηλ εἰς τὴν
ἔρημον καὶ ἦλθεν εἰς Ιασσα καὶ παρετάξατο τῷ Ισραηλ. [24]καὶ ἐπά- 24
ταξεν αὐτὸν Ισραηλ φόνῳ μαχαίρης καὶ κατεκυρίευσαν τῆς γῆς
αὐτοῦ ἀπὸ Αρνων ἕως Ιαβοκ ἕως υἱῶν Αμμαν· ὅτι Ιαζηρ ὅρια
υἱῶν Αμμων ἐστίν. [25]καὶ ἔλαβεν Ισραηλ πάσας τὰς πόλεις ταύτας, 25
καὶ κατῴκησεν Ισραηλ ἐν πάσαις ταῖς πόλεσιν τῶν Αμορραίων,
ἐν Εσεβων καὶ ἐν πάσαις ταῖς συγκυρούσαις αὐτῇ. [26]ἔστιν γὰρ 26
Εσεβων πόλις Σηων τοῦ βασιλέως τῶν Αμορραίων, καὶ οὗτος
ἐπολέμησεν βασιλέα Μωαβ τὸ πρότερον καὶ ἔλαβον πᾶσαν τὴν γῆν
αὐτοῦ ἀπὸ Αροηρ ἕως Αρνων. [27]διὰ τοῦτο ἐροῦσιν οἱ αἰνιγματισταί 27

12 Ζαρε A || 13 και $1^{0}$] > B, in *O* sub ÷ || 14 βιβλω A | του > A | Ζοοβ A || 16 εστιν το > B | συναγ. τον λαον > A† || 18 εν $1^{0} \frown 2^{0}$ B*† | μανθαναιν] -ναειν B, -νιν A: item in 19, sed A -νειν || 19 νααλιηλ bis] μαναηλ B || 20 ναπην] ιανην B† || 22 τη > A† | αμπελωνα] + σου A† | εως] + αν A || 23 τω $2^{0}$ > B* | ιασσα] εισσα B*† || 24 αμμων] -μαν A || 25 αυτη] -ταις A || 26 πολεις B*A | αμορρ.] + εστιν B | ελαβεν A